ἀρθ. ϛιχ.

πῆ μὲν χαλῶν πως, πῆ δέ γ᾽ ἐντείνων τόνῳ·
λύειν καθυγραίνειν τε κᾀραιῦν ὅσον
χυμῶν πεπηγὸς πυκνὸν ἐξηραμένον,
τὴν τῶν δε λεπτύνειν τε γλισχρότητά πυ,
καὶ λεπτότητα τῶν δέ πως συμπηγνύναι·
καὶ χυμὸν οἶδα φαῦλον ἀλλοιῦν ὅσον,
ἢ κᾀχετεύειν ἔνθ᾽ ἀκίνδυνον πλέον. λ. 652
χυμὸν κενῦν τε τὸν περιττεύοντά πως (ι),
ἢ κᾀναπληρῦν τὸν πρὶν ἐκλελοιπότα,
ἀλλ᾽ ἔνθά πυ χρὴ, καί γ᾽ ὅσον, χὠπηνίκα·
καὶ τἆλλά πυ δρᾶν ἃ πρὸς ἄλθεξιν φέρει
μακρῶν μάλιςα κᾀν χρόνῳ νοσημάτων (κ),
τἀναντὶ ἀεὶ τοῖς ἐναντίοις φέρων.

ΛΔ. Φύσιν δ᾽ ὁρῶν πως ἔσθ᾽ ὅτ᾽ ἠρεθισμένην
κινήσεων δήπυθεν ὁρμὴν ἀγρίαν (λ) κδ. 493
ἐξ αἰτίων μάλ᾽ ὀξέων, ἤ γ᾽ ἔσθ᾽ ὅπῃ
ἐξ εὐερεθίςυ τε σώματος σθένυς,
ἄγχυσαν ὄχλῳ τὸν νοσῦντ᾽ ἀλγημάτων (μ),
ἢ δειματωδῶν ξυνδρομῇ συμπτωμάτων,
μελῶν ἁπάντων τῦδ᾽ ἐναλλὰξ σπωμένων (ν)
μυῶν ξυνολκῇ συντόνῳ κᾀκυσίῳ (ξ),

ἢ

(ι) Ἀφορ. Β. η. κβ. Α. κγ. ἐπιδ. ϛ. β. η. (κ) Ἀφορ. Β. κβ. ἐπιδ. ϛ. ε. περὶ φυσ. ἀνθρ. ιζ. φυσῶν Β. Ἀλεξ. Τραλλ. ιβ. η (λ) Γαλ. περὶ αἰτ. συμπτωμ. Ε. α-- γ. (μ) ἀφορ. ϛ. ε. -- ζ. Ε. κε. ἐπιδ. ϛ. ζ η. (ν) ἀφορ. Γ. κε. Δ. μθ. ξζ. Ε. ιζ. κ. ζ. ιγ. Γαληνο. περὶ τῶν πεπονθ. τοπ. Γ. ε. (ξ) Ὅροι Ἰατρικ. Ἀρετ. Καπ. περὶ αἰτ. καὶ σημ. ὀξ. παθ. Α. ϛ.